καὶ περιγεγράφθω περὶ αὐτὸ κύκλος ὁ ΑΒΓΔΕ. καὶ εἰλή-
φθω αὐτοῦ τὸ κέντρον τὸ Ζ. καὶ ἐπεζεύχθωσαν αἱ ΖΑ
ΖΒ ΖΓ ΖΔ ΖΕ. δίχα ἄρα τέμνουσι τὰς τοῦ πενταγώνου
ΑΒΓΔΕ τοῦ πενταγώνου γωνίας. καὶ ἐπεὶ αἱ πρὸς
τῷ Ζ πέντε γωνίαι τέτρασιν ὀρθαῖς ἴσαι εἰσὶ καὶ
εἰσὶν ἴσαι. μία ἄρα αὐτῶν ὡς ἡ ὑπὸ ΑΖΒ μιᾶς ὀρ-
θῆς ἐστι παρὰ πέμπτον. λοιπαὶ ἄρα αἱ ὑπὸ ΖΑΒ
ΑΒΖ μιᾶς εἰσιν ὀρ-
θῆς καὶ πέμπτου.
ἴση δὲ ἡ ὑπὸ ΖΑΒ
τῇ ὑπὸ ΖΒΓ. καὶ
ὅλη ἄρα ἡ ὑπὸ
ΑΒΓ τοῦ πεντα-
γώνου γωνία
μιᾶς ἐστιν ὀρθῆς
καὶ πέμπτου. ὅπερ
ἔδει δεῖξαι:~



✝ ΕΥΚΛΕΙΔΟΥ ΣΤΟΙΧΕΙΩΝ
ΤΗΣ ΘΕΩΝΟΣ ΕΚΔΟΣΕΩΣ
~: ΙΓ :~

✝ ὙΨΙΚΛΕΟΥΣ ΤΟ ΕΙΣ ΕΥΚΛΕΙΔΗΝ
ΑΝΑΦΕΡΟΜΕΝΟΝ:~

Βασιλείδης ὁ Τύριος ὦ Πρώταρχε παραγενηθεὶς εἰς
Ἀλεξάνδρειαν καὶ συσταθεὶς τῷ πατρὶ ἡμῶν διὰ τὴν
ἀπὸ τοῦ μαθήματος συγγένειαν. συνδιέτριψεν αὐ-
τῷ τὸν πλεῖστον τῆς ἐπιδημίας χρόνον. καί ποτε
ζητοῦντες τὸ ὑπὸ Ἀπολλωνίου γραφὲν περὶ τῆς
συγκρίσεως τοῦ δωδεκαέδρου καὶ τοῦ εἰκοσαέδρου
τῶν εἰς τὴν αὐτὴν σφαῖραν ἐγγραφομένων τίνα ἔχει λό-
γον ταῦτα πρὸς ἄλληλα. ἔδοξαν ταῦτα μὴ ὀρ-
θῶς γεγραφέναι τὸν Ἀπολλώνιον. αὐτοὶ δὲ ταῦτα
ἐκκαθάραντες ἔγραψαν ὡς ἦν ἀκούειν τοῦ πα-
τρός. ἐγὼ δὲ ὕστερον περιέπεσον ἑτέρῳ βιβλίῳ ὑ-
πὸ Ἀπολλωνίου ἐκδεδομένῳ καὶ περιέχοντι ἀπόδει-
ξιν ὑγιῶς περὶ τοῦ ὑποκειμένου. καὶ μεγάλως ἐψυ-
χαγωγήθην ἐπὶ τῇ τοῦ προβλήματος ζητήσει.
τὸ μὲν ὑπὸ Ἀπολλωνίου ἐκδοθέν. ἔοικεν κοινῇ
σκοπεῖν. καὶ γὰρ περιφέρεται. τὰ δ' ὑφ' ἡμῶν δο-
κοῦντα ὕστερον γεγράφθαι φιλοπόνως ὅσα δοκεῖ μοι
ὑπομνηματισάμενος ἔκρινα προσφωνῆσαι σοι.
διὰ τὴν ἐν ἅπασι μαθήμασι. μάλιστα δὲ ἐν γεω-
μετρίᾳ προκοπὴν ἐμπείρως κρινοῦντι τὰ ῥηθη-
σόμενα. διὰ δὲ τὴν πρὸς τὸν πατέρα συνήθειαν καὶ
τὴν πρὸς ἡμᾶς εὔνοιαν εὐμενῶς ἀκουσομένῳ τῆς
πραγματείας. καιρὸς δ' ἂν εἴη τοῦ προοιμίου μὲν πε-
παῦσθαι. τῆς δὲ συντάξεως ἄρχεσθαι:~
Ἡ ἀπὸ τοῦ κέντρου κύκλου τινὸς ἐπὶ τὴν τοῦ πενταγώ-
νου πλευρὰν τοῦ εἰς τὸν αὐτὸν κύκλον ἐγγρα-

